τούτῳ αἴτιοί ἐστε, τῶν δὲ κακῶν τῶνδε καὶ τῶν κιν-
δύνων αὐτὸς ἑαυτῷ, παραβὰς τὰ δόγματα καὶ τὴν ἄδειαν
ἐφ' ᾗ μηνυτὴς ἐγένετο. οὔκουν ἐξουσίαν χρὴ ποιεῖν τοῖς 44
μηνυταῖς ἀδικεῖν (ἀρκεῖ γὰρ τὰ πεποιημένα), ἀλλὰ παρα-
βαίνοντας κολάζειν. καὶ οἱ μὲν ἄλλοι μηνυταί, ὁπόσοι
ἐπ' αἰσχραῖς αἰτίαις ἐξεληλεγμένοι σφᾶς αὐτοὺς ἐξήτη-
σαν, ἓν γοῦν ἐπίστανται, μὴ ἐνοχλεῖν τοῖς ἠδικημένοις,
ἡγούμενοι ἀποδημοῦντες μὲν Ἀθηναῖοι καὶ ἐπίτιμοι
[δόξειν εἶναι], ἐπιδημοῦντες δὲ παρὰ τοῖς πολίταις τοῖς
ἠδικημένοις πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι. ὁ γοῦν 45
πάντων πονηρότατος Βάτραχος πλὴν τούτου, γενόμενος
ἐπὶ τῶν τριάκοντα μηνυτὴς καὶ οὐσῶν αὐτῷ συνθηκῶν
καὶ ὅρκων καθάπερ τοῖς Ἐλευσινόθεν, δείσας ὑμῶν οὓς
ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει. Ἀνδοκίδης δὲ καὶ αὐ-
τοὺς τοὺς θεοὺς ἀδικήσας περὶ ἐλάττονος αὐτοὺς ἔθετο,
εἰσιὼν εἰς τὰ ἱερά, ἢ Βάτραχος τοὺς ἀνθρώπους. ὅστις
οὖν καὶ πονηρότερος καὶ ἀμαθέστερος Βατράχου ἐστί,
πάνυ δεῖ ἀγαπητῶς ὑφ' ὑμῶν αὐτὸν σωθῆναι.

Φέρε δή, εἰς τί σκεψαμένους χρὴ ὑμᾶς Ἀνδοκίδου ἀπο- 46
ψηφίσασθαι; πότερον ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐ-
δεπώποτ' ἐκ τῆς πόλεως ἐστρατεύσατο, οὔτε ἱππεὺς οὔτε
ὁπλίτης, οὔτε τριήραρχος οὔτ' ἐπιβάτης, οὔτε πρὸ τῆς
συμφορᾶς οὔτε μετὰ τὴν συμφοράν, πλέον ἢ τετταρά-
κοντα ἔτη γεγονώς. καίτοι ἕτεροι φεύγοντες ἐν Ἑλλησ- 47
πόντῳ συνετριηράρχουν ὑμῖν. ἀναμνήσθητε δὲ καὶ
αὐτοὶ ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιε-
ποιήσατε καὶ τὴν πόλιν, πολλὰ μὲν τοῖς σώμασι πονή-
σαντες, πολλὰ δὲ ἀναλώσαντες χρήματα καὶ ἰδίᾳ καὶ
δημοσίᾳ, πολλοὺς δὲ καὶ ἀγαθοὺς τῶν πολιτῶν καταθά-
ψαντες διὰ τὸν γενόμενον πόλεμον. Ἀνδοκίδης δὲ ἀπα- 48
θὴς τούτων τῶν κακῶν γενόμενος .... εἰς τὴν σωτηρίαν

4*